*παρθενικῆς ἁπαλόχροος'* (Hes. OD 519) *ὡς πνεῦμα δια-*
517 *δύεται καὶ διέρπει,* | *βακχεῖα καὶ χοροὺς καὶ παννυχίδας*
*ἐξετάζων καὶ συκοφαντῶν.* (4.) *καὶ καθάπερ τοῦ κωμῳ-*
*δουμένου Κλέωνος* (Arist. Eq. 79)

> *'τὼ χεῖρ' ἐν Αἰτωλοῖς, ὁ νοῦς ἐν Κλωπιδῶν,'*

*οὕτω τοῦ πολυπράγμονος ὁ νοῦς ἅμ' ἐν πλουσίων οἴκοις*
*ἐστὶν ἐν δωματίοις πενήτων ἐν αὐλαῖς βασιλέων ἐν θαλά-*
*μοις νεογάμων· πάντα πράγματα ζητεῖ, τὰ ξένων τὰ*
*ἡγεμόνων, οὐδ' ἀκινδύνως ταῦτα ζητῶν, ἀλλ' οἷον, εἴ τις*
*ἀκονίτου γεύοιτο πολυπραγμονῶν τὴν ποιότητα, φθάσει*
*τῆς αἰσθήσεως προανελὼν τὸ αἰσθανόμενον, οὕτως οἱ τὰ*
*τῶν μειζόνων κακὰ ζητοῦντες προαναλίσκουσι τῆς γνώ-*
B *σεως ἑαυτούς. καὶ γὰρ οἱ τοῦ ἡλίου τὴν ἄφθονόν γε ταύτην*
*καὶ κατακεχυμένην ἅπασιν ἀκτῖνα παρορῶντες, αὐτὸν δὲ*
*τὸν κύκλον ἀναιδῶς καταβλέπειν καὶ διαστέλλειν τὸ φῶς*
*εἴσω βιαζόμενοι καὶ τολμῶντες ἀποτυφλοῦνται. διὸ καλῶς*
*Φιλιππίδης ὁ κωμῳδιοποιὸς εἰπόντος αὐτῷ ποτε Λυσι-*
*μάχου τοῦ βασιλέως 'τίνος σοι τῶν ἐμῶν μεταδῶ;' 'μόνον'*
*εἶπεν, 'ὦ βασιλεῦ, μὴ τῶν ἀπορρήτων.' τὰ γὰρ ἥδιστα καὶ*
*κάλλιστα τῶν βασιλέων ἔξω πρόκειται, τὰ δεῖπνα οἱ*
*πλοῦτοι αἱ πανηγύρεις αἱ χάριτες· εἰ δέ τι ἀπόρρητόν ἐστι,*
*μὴ προσέλθῃς μηδὲ κινήσῃς. οὐ κρύπτεται χαρὰ βασι-*
C *λέως εὐτυχοῦντος οὐδὲ γέλως παίζοντος οὐδὲ φιλανθρω-*